## *Euripides, Herakles 107–139 (Parodos)*

ΧΟΡΟΣ[1]

ὑψόροφα μέλαθρα καὶ γεραι- str.
ά[a] δέμνι' ἀμφὶ βάκτροις
ἔρεισμα θέμενος ἐστάλην
ἰηλέμων γέρων ἀοι-
δὸς ὥστε πολιὸς ὄρνις,
ἔπεα μόνον καὶ δόκημα νυκτερω-
πὸν ἐννύχων ὀνείρων,
τρομερὰ μὲν ἀλλ' ὅμως πρόθυμ',
ὦ τέκεα τέκεα πατρὸς ἀπάτορ',
ὦ γεραιὲ σύ τε τάλαινα μᾶ-
τερ, ἃ τὸν ἐν Ἀίδα δόμοις
πόσιν ἀναστενάζεις.

Aischylos, Ag. 81–83 (ὁ γέρων) τρίποδας μὲν ὁδοὺς | στείχει, παιδὸς δ' οὐδὲν ἀρείων | ὄναρ ἡμερόφαντον ἀλαίνει.

μὴ προκάμετε[2] πόδα βαρύ τε κῶ- ant.
λον ὥστε πρὸς πετραῖον
λέπας ζυγηφόρος <ἔκαμ'>
ἄναντες <ἅρματος> βάρος φέρων
τροχηλάτοιο πώλος[3].
λαβοῦ χερῶν καὶ πέπλων, ὅτου λέλοι-
πε ποδὸς ἀμαυρὸν ἴχνος.
γέρων γέροντα παρακόμιζ',
ᾧ ξύνοπλα δόρατα νέα νέῳ 128
τὸ πάρος ἐν ἡλίκων πόνοις 127
ξυνῆν ποτ', εὐκλεεστάτας 129
πατρίδος οὐκ ὀνείδη.

---

[1] Metrum: Strophe: Iamben; Epode: Trochäen, mit daktylischem Einschlag gegen Ende (136f.).

[2] μὴ προκάμετε *West (ad μὴ cum imperativo cf. Kühner-Gerth I 238)* : †μὴ προκάμητε πόδα† L *(cruces pos. Diggle)* : *alii alia*

[3] ζυγηφόρος <ἔκαμ'> ἄναντες <ἅρματος> βάρος φέρων τροχηλάτοιο πώλος *Wilamowitz* : †ζυγηφόρον πῶλον ἀνέντες ὡς βάρος φέρον τροχηλάτοιο πώλου† L : *alii alia*

---

[a] γεραιὰ δέμνια] = (τὰ) δέμνια τοῦ γέροντος (sc. des Amphitryon).

ἴδετε πατέρος ὡς γορ- ep.
γῶπες αἵδε προσφερεῖς
ὀμμάτων αὐγαί,
τὸ δὲ κακοτυχὲς οὐ λέλοιπεν ἐκ τέκνων
οὐδ' ἀποίχεται χάρις.
Ἑλλὰς ὦ ξυμμάχους
οἵους οἵους ὀλέσασα
τούσδ' ἀποστερήσῃ.

ἀλλ' εἰσορῶ γὰρ τόνδε δωμάτων πέλας
Λύκον περῶντα, τῆσδε κοίρανον χθονός.